UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars III. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Epistola Ioannis Antiocheni, ceterorumque qui cum illo erant, ad Sixtum episcopum Romanum, & Cyrillum Alexandrinum, & Maximianum Constantinopolitanum.

**urn:nbn:de:hbz:466:1-15241**

Visual Library

ANNO CHRISTI 431.

οὐ μὴν ἀποστῆναι ταύτης τῆς σπουδῆς αἱρησόμεθα, πρὶν ἂν ἡμῖν ὁ ἀγαθὸς θεὸς τὴν τῶν ἁγίων ἐκκλησιῶν ἕνωσιν χαρίσοιτο δι' ὑμετέρων εὐχῶν. ὥστε προσήκειν, μετὰ πάσης σπουδῆς ταῦτα παρὰ θεοῦ αἰτεῖν τὴν σὴν ἁγιότητα, τῆς Ῥωμαϊκῆς θρησκείας ἱερέας *ἀποδείξαντα δοκίμους.

*ἴσ. ἀποδείξοντας

diti sumus. Certa nihilo minus fixaque stat sententia, ab hoc studio non prius desistere, quam misericors Deus, vestris intercedentibus precibus, vnionem & pacem ecclesiis restituere dignabitur. Decet proinde tuam sanctitatem, omni diligentia & studio hæc a Deo deposcere, qui probatos Romanæ religionis sacerdotes declaret.

## ΙΩΑΝΝΟΥ ΕΠΙΣΚΟΠΟΥ Ἀντιοχείας, καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῷ ἐπιστολή, πρὸς Ξύστον ἐπίσκοπον Ῥώμης, καὶ πρὸς Κύριλλον ἐπίσκοπον Ἀλεξανδρείας, καὶ Μαξιμιανὸν ἐπίσκοπον Κωνσταντινουπόλεως.

## EPISTOLA IOANNIS Antiocheni, ceterorumque qui cum illo erant, ad Sixtum episcopum Romanum, & Cyrillum Alexandrinum, & Maximianum Constantinopolitanum.

Τοῖς ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἀδελφοῖς, καὶ συλλειτουργοῖς, Ξύστῳ, Κυρίλλῳ, καὶ Μαξιμιανῷ, Ἰωάννης, καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἐμοί, ἐν κυρίῳ χαίρειν.

*Sanctissimis Deoque dilectissimis fratribus & comministris, Sixto, Cyrillo, & Maximiano, Ioannes & reliqui omnes qui mecum sunt, in Domino salutem.*

ΚΑΙ σπουδὴ καὶ σκοπὸς πᾶσι τοῖς ἱερᾶσθαι λαχοῦσι, καὶ τὴν θείαν τῆς ἐπισκοπῆς λειτουργίαν πεπιστευμένοις παρὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, τὸ ἐν ὀρθῇ πίστει διαπρέπειν, οὕτω τε διδάσκειν τοὺς ὑπὸ χεῖρα λαούς. οὕτω τοίνυν ἔχοντος τοῦ πράγματος, κατὰ τὸ παρῳχηκὸς ἔτος ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων, ἁγία σύνοδος θεοφιλεστάτων ἐπισκόπων *συνήχθη κατὰ τὴν Ἐφεσίων μητρόπολιν, τῆς κατὰ Νεστόριον ὑποθέσεως χάριν. οἱ καὶ συνεδρεύσαντες ἅμα τοῖς ἀποσταλεῖσιν ἐκδίκοις παρὰ τοῦ τῆς μακαρίας μνήμης Κελεστίνου, τοῦ γενομένου ἐπισκόπου τῆς ἁγίας Ῥωμαίων ἐκκλησίας,

*ἄγεν.

PRÆCIPVVM eorum studium, qui sacerdotio funguntur, diuinumque episcopatus ministerium a Christo omnium saluatore sortiti sunt, primariusque eorumdẽ scopus hic esse debet, vt in fide recta excellant, eamque populum sibi concreditũ fideliter doceant. Cum itaque res ita habeat, anno proxime lapso sacra Deo dilectissimorum episcoporum Synodus iuxta religiosissimorum Christique amantium imperatorũ nostrorum decretum in Ephesiorum metropoli, profligandæ Nestorianæ hæreseos causa conuenit, consessuque celebrato vna cum *legatis a beatæ memoriæ Cælestino Romanæ ecclesię quondam episcopo missis, C. XXVII.

*defensoribus

prędictum Nestorium tamquam profana doctrina vtentem, multorumque scandalorum auctorem, & in fide catholica grauiter errantem, depositionis sententiæ subiecit. Cum vero posteaquam & nos quoque eodem aduenissemus, remque omnem gestam comperissemus, ægre tulimus. Hac de causa cum non parua inter nos & Synodum controuersia intercessisset, multaque vltro citroque dicta & facta essent, ad nostras tandem ecclesias & ciuitates reuersi sumus: neque, quod ad Nestorii depositionem attinebat, Synodi sententiæ per id tempus subscripsimus. Porro autem cum mutuis inter se discordiis ecclesiæ dissiderent, vnumque illud omnes maxime curare oportere visum esset, vt omni dissidio sublato, amice inter se iterum congruerent; religiosissimis & Christi amantibus imperatoribus id ipsum quoque fieri vellent, seuereque iubentibus celeberrimo tribuno & notario Aristolao ea de causa ad nos misso, vt omnis contentio tolleretur, ac Dei ecclesiarum pax vbique vigeret; placuit & nobis quoque, in sanctæ Synodi sententia, qua Nestorium deposuit, acquiescere, ipsumque pro deposito habere, ac blasphemam illius doctrinam anathematizare; eo quod nostræ ecclesiæ, perinde ac vestra sanctitas, rectam semper inculpatamque fidem tenuerint, ac seruauerint, eamdemque populis tradiderint. Assentimur etiam ordinationi Maximiani sanctissimi & religiosissimi sanctæ ecclesiæ Constantinopolitanæ episcopi: &

ψήφῳ καθαιρέσεως ὑποβεβλήκασι τὸν μνημονευθέντα Νεστόριον, ὡς βεβήλῳ διδασκαλίᾳ χρώμενον, καὶ σκανδαλίσαντα πολλοὺς, καὶ οὐκ ὀρθοποδήσαντα περὶ τὴν πίστιν. συνδεδραμηκότες δὲ καὶ ἡμεῖς, εἶτα τοῦτο γεγονὸς εὑρόντες, λελυπήμεθα. ταύτης ἕνεκα τῆς αἰτίας, διαφορᾶς μεταξὺ γενομένης ἡμῶν τε καὶ τῆς ἁγίας συνόδου, καὶ πολλῶν μεταξὺ πεπραγμένων τε καὶ εἰρημένων, εἰς τὰς ἑαυτῶν ἐκκλησίας τε καὶ πόλεις ὑπεστρέψαμεν, οὐ συνενεχθέντες τὸ τηνικαῦτα τῇ ἁγίᾳ συνόδῳ δι' ὑπογραφῆς εἰς τὴν ἐξενεχθεῖσαν κατὰ Νεστορίου τῆς καθαιρέσεως ψῆφον, διῃρημένων πρὸς διχόνοιαν τῶν ἐκκλησιῶν. ἐπειδὴ τούτου μάλιστα πάντας φροντίσαι ἐχρῆν, ὅπως συναφθεῖεν, ἐκ μέσου γενομένης διχονοίας ἁπάσης, καὶ τῶν θεοσεβεστάτων καὶ φιλοχρίστων βασιλέων αὐτὸ δὴ τοῦτο γενέσθαι θεσπισάντων, καὶ εἰς τοῦτο πεπομφότων τὸν * θαυμάσιον τριβοῦνον καὶ νοτάριον Ἀριστόλαον, συνήρεσεν εἰς ἀναίρεσιν πάσης φιλονεικίας, καὶ ὑπὲρ τοῦ τὴν εἰρήνην βραβευθῆναι ταῖς ἐκκλησίαις τοῦ θεοῦ, καὶ ἡμᾶς αὐτοὺς συνθέσθαι τῇδε τῇ ψήφῳ τῆς ἁγίας συνόδου, τῇ ἐξενεχθείσῃ κατὰ Νεστορίου, ἔχειν τε αὐτὸν καθῃρημένον, καὶ ἀναθεματίσαι τὰς δυσφήμους αὐτοῦ διδασκαλίας, διὰ τὸ τὰς παρ' ἡμῖν ἐκκλησίας τὴν ὀρθὴν ἀεὶ καὶ ἀβέβηλον ἐσχηκέναι πίστιν, καθὰ καὶ ἡ ὑμετέρα ὁσιότης, καὶ ταύτην ἀεὶ φυλάττειν καὶ παραδιδόναι τοῖς λαοῖς. συναινοῦμεν δὲ καὶ τῇ χειροτονίᾳ τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου τῆς Κωνσταντινουπολιτῶν ἁγίας ἐκκλησίας ἐπισκόπου Μαξιμιανοῦ· καὶ

* θαυμασιώτατον

ANNO CHRISTI 431.

κοινωνικοὶ πᾶσίν ἐσμεν τοῖς κατὰ τὴν οἰκουμένην θεοσεβεστάτοις ἐπισκόποις, ὅσοι τὴν ὀρθόδοξον καὶ ἀμώμητον ἔχουσί τε καὶ τηροῦσι πίστιν.

cum omnibus vniuersi orbis religiosissimis episcopis, quicumque orthodoxam sinceramque fidem habent, eamque seruant, communicamus.

* λίβελλον ἐπιδοθέντες τῷ

* ἀποσταλέντος παρὰ

*ΛΙΒΕΛΛΟΣ ΕΠΙΔΟΘΕΙΣ τῷ ἀρχιεπισκόπῳ Κυρίλλῳ παρὰ Παύλου ἐπισκόπου Ἐμέσης,* τοῦ ἀποσταλέντος παρὰ Ἰωάννου Ἀντιοχείας ἐπισκόπου.

LIBELLUS QUEM Paulus episcopus Emisenus Cyrillo archiepiscopo Alexandriæ obtulit, a Ioanne Antiocheno episcopo missus.

Τῷ δεσπότῃ μου τῷ πάντων ἕνεκα ἁγιωτάτῳ καὶ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Κυρίλλῳ, Παῦλος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

*Domino meo per omnia sanctissimo & sacratissimo archiepiscopo Cyrillo, Paulus episcopus in Domino salutem.*

ΟΙ εὐλαβέστατοι καὶ καλλίνικοι ἡμῶν βασιλεῖς, τὴν ἄνωθεν ἔχειν ἀξιοῦσι σπουδὴν καὶ ἐπιμέλειαν περὶ τὸ ὑπήκοον, καὶ μάλιστα περὶ τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ τὴν εὐσεβῆ καὶ εἰλικρινῆ καὶ ὀρθὴν πίστιν, ἣν ἐκ πατέρων διεδέξαντο, ἐνδεικνύμενοι, γράμμα ἐξέπεμψαν διὰ τοῦ περιβλέπτου τριβούνου καὶ νοταρίου Ἀριστολάου πρός τε τὴν σὴν ὁσιότητα, καὶ πρὸς τὸν ὁσιώτατον καὶ ἁγιώτατον Ἰωάννην ἐπίσκοπον, καὶ πρὸς τὸν ὁσιώτατον καὶ ἁγιώτατον πατέρα ἡμῶν Ἀκάκιον τὸν ἐπίσκοπον τῆς Βερροιαίων, τὸ κελεῦον, ὥστε συνελθόντας ἢ κατὰ πρόσωπον ἢ κατὰ γνώμην*, λύσιν δοῦναι ταῖς ἀνακυψάσαις διαφοραῖς μεταξὺ τῶν θεοφιλεστάτων ἐπισκόπων τῶν εἰς τὴν Ἔφεσον συνεληλυθότων, καὶ ἡμῶν αὐτῶν, καὶ ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὴν τῷ θεῷ φίλην εἰρήνην πρυτανεῦσαι, παῦσαί τε τὰς ὁσημέραι ἐγγινομένας ταραχὰς ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, συνθέσθαι τε τῇ Νεστορίου καθαιρέσει,

* γνώ,

RELIGIOSISSIMI inuictissimique imperatores nostri curam ac solicitudinem, quam iã inde ab initio circa subditos, maxime vero circa sanctas Dei ecclesias habuerunt, declarantes, fidemque quam a maioribus susceperunt, piam, rectam, minimeque adulteratam sese obtinere demonstrantes; per virum spectabilem Aristolaũ tribunum ac notarium & ad tuam sanctitatem, & ad sanctissimum quoq; & religiosissimum Ioannem episcopum, & ad sanctissimũ ac religiosissimum patrem nostrum Acacium Berrhœensium antistitem literas miserunt, quibus præcipiunt, vt vel corpore, vel saltem animi sententia inter nos coeuntes, controuersias illas inter pientissimos episcopos, qui in Ephesina ciuitate conuenerunt, & nos exortas, diluamus, acceptamque Deo pacem sanctis eius ecclesiis cõciliemus, turbas quotidie in sanctas Dei ecclesias desæuientes consopiamus, ac Nestorii depositioni cõ- C.XXVIII.